ὁμομήτριος, βέλτιστε, ταῦτά coι λέγω.
Cω. καὶ χρήcιμός γ' εἶ, νὴ Δί', εἰς τὰ λοιπά μοι.
(Γο.) τί χρήcιμος;
(Cω.) γεννικὸν ὁρῶ cε τῶι τρόπωι.
(Γο.) οὐ πρόφασιν εἰπὼν βούλομ' ἀποπέμψαι κενήν,
τὰ δ' ὄντα πράγματ' ἐμφανίcαι. ταύτηι πατήρ
ἐcθ' οἷος οὐδεὶς γέγονεν οὔτε τῶν πάλαι
ἄνθρωπος οὔτε τῶν καθ' ἡμᾶc.
(Cω.) ὁ χαλεπός·
cχεδὸν οἶδα.
(Γο.) ὑπερβολή τις ἐcτὶν τοῦ κακοῦ.
τούτωι ταλάντων ἔcτ' ἴcως τουτὶ δυεῖν
τὸ κτῆμα. τοῦτ' αὐτὸc γεωργῶν διατελεῖ
μόνος, cυνεργὸν δ' οὐδέν' ἀνθρώπων ἔχων,
οὐκ οἰκέτην οἰκεῖον, οὐκ ἐκ τοῦ τόπου
μιcθωτόν, οὐχὶ γείτον', ἀλλ' αὐτὸc μόνος.
ἥδιcτόν ἐcτ' αὐτῶι γὰρ ἀνθρώπων ὁρᾶν
οὐδένα. μεθ' αὐτοῦ τὴν κόρην ἐργάζεται
ἔχων τὰ πολλά· προcλαλεῖ ταύτηι μόνηι,
ἑτέρωι δὲ τοῦτ' οὐκ ἂν ποήcαι ῥαιδίως.
τότε φηcὶν ἐκδώcειν ἐκείνην, ἡνίκ' ἂν
ὁμότροπον αὐτῶι νυμφίον λάβηι.
(Cω.) λέγεις
οὐδέποτε.
(Γο.) μὴ δὴ πράγματ', ὦ βέλτιcτ', ἔχε·
μάτην γὰρ ἕξεις. τοὺc δ' ἀναγκαίους ἔα
ἡμᾶc φέρειν ταῦθ', οἷc δίδωcιν ἡ τύχη.
(Cω.) πρὸς τῶν θεῶν οὐπώποτ' ἠράcθης τινός,
μειράκιον;
(Γο.) οὐδ' ἔξεcτί μοι, βέλτιcτε.
(Cω.) πῶc;
τίc ἔcθ' ὁ κωλύων;
(Γο.) ὁ τῶν ὄντων κακῶν
λογιcμός, ἀνάπαυcιν διδοὺc οὐδ' ἡντινοῦν.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/69 UNIVERSITÄT LEIPZIG